κινήσεως ἥδ᾽ ἐςὶ πρώτη καὶ μόνη,
ἀλλ᾽ ὥς τι δρῶν μὲν, ἀλλὰ καὶ πάσχον πλέον,
κινούμενον δήπου γε καὶ κινοῦν ὅσον,
ὠθούμενον μὲν σφύξεων πρὶν τῷ σθένει,
ὁρμὴν δ᾽ ἔπειτα τῶνδ᾽ ἀμοιβαδὸν νέμον
διαςολῆς τε συςολῆς τε. οὐκ ἄρα
κινήσεων ἥδ᾽ αἴτιον πρῶτον πέλει,
ἀλλ᾽ ὕςερόν τι, κἀντιδρῶν τῆδ᾽ ἐν δράσει·
τῶν σφύξεων γὰρ αὐτίκ᾽ ἠμαυρωμένων,
χυμῶν τάχιςα πᾶς ἔληξεν ὁ τρόχος.
ΙΕ. Σκοπουμένῳ δ᾽ εὖ πάντα κἠκριβωμένως
ἃ πρὶν λέλεκται δῆλον ὡς ἄρ᾽ ἡ φύσις
ἥδ᾽ ἐκσοβεῖ σκήνους τε τοῦδε πᾶν ὅπερ (δ) ιβ. 234.
αἴτιον ποιητικὸν ἢ ὑλικόν. κινήσεων ἔβλαψε χρῆσιν ἀρτίαν,
ὅγ᾽ ἐςὶ τὸ δρῶν αἴτιον νοσήματος ια. 230.
κεκλημένον πρῶτόν τε πλησίον θ᾽ ἅμα
Ἀρχὴ Νόσου. τῷ δρῶντι μὲν γὰρ ἥδ᾽ ἅμ᾽ ἠρεθισμένη, ε. 101.
αἰσθήσεως δὲ τῷ σθένει γηγερμένη
νεύρων ταχίςῳ, τῇ δὲ συντονωτάτῃ δ. 77.
διαςολῇ τε συςολῇ τε καρδίας ε. 103.
ἀρτηριῶν τε τῇ τε θλίψει καὶ βίᾳ
τῇ ᾽κ σχήματος τῶνδ᾽ εὐσθενῶς ἠπειγμένη, -- 113.
πρὸς δ᾽ ἐκτάσει τε συςολῇ τ᾽ ἀντιςρόφῳ
σθένει παλιντόνῳ τε τῶν εὐκαμπέων

ἰνῶν

(δ) Γαλην. περὶ αἰτίων ξυμπτωμ. Ε. α. γ. ε.